# TEZAUR LITURGIC

## 4 SEPTEMBRIE
## ISIDORA AGHIROTITISSA

# ACATISTUL SF.CUVIOS ANTIM DE LA KEFALONIA

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 04 ΣΕΠΤΕΜΒΡΙΟΥ ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ ΑΝΘΙΜΟΥ ΟΣΙΟΥ ΤΟΥ ΚΕΦΑΛΛΗΝΟΣ

**Ποίημα Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτισσης**

Ἀπολυτίκιον. Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.
Τῶν ἀρετῶν τῷ φωτὶ λελαμπρυσμένος, καὶ τῷ πυρὶ τοῦ θείου ζήλου πεπλησμένος, Μοναζόντων τὴν τρῖβον Ἄνθιμε διῆλθες, καὶ λόγον Εὐαγγελίου νήσοις πολλαῖς, κηρύξας ἐν φλογοβόλῳ σου τῇ φωνῇ, τὸν Δεσπότην ἐδόξασας, διὸ τὴν μνήμην τὴν σήν, δοξάζοντες βοῶμέν σοι· Χαίροις Πάτερ Θεόφωτε.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.
Κεφαλληνίας τὸν βλαστὸν καὶ μέγα καύχημα, Ἀστυπαλαίας πολιοῦχον καὶ θησαύρισμα, τὸν ἀόμματον θεράποντα τοῦ Κυρίου. Τὸν δομήσαντα Μονὰς Θεοῦ εἰς αἴνεσιν, θεῖον Ἄνθιμον συμφώνως ἐπαινέσωμεν ἀνακράζοντες·
Χαίροις Πάτερ Θεόφωτε.

Ἄφραστον τοῦ Δεσπότου καὶ ἀμήχανον κάλλος ὦ Ἄνθιμε ὁρᾷς ἀκορέστως (ἐκ γ΄ ), διὸ τοὺς τῆς καρδίας ὀφθαλμούς μου ἄνοιξον καὶ φῶς τῆς ἐπιγνώσεως Θεοῦ ὁρᾶν μοι δώρησαι, ἵνα γινώσκων τὴν αὐτοῦ Ἀλήθειαν

καὶ ἐν φωτὶ τῷ θείῳ ἀπροσκόπτως πορευόμενος, βοῶ σοι ἐκτενῶς τοιαῦτα·
Χαίροις ἡ δόξα τῆς Ἐκκλησίας·
χαίροις τὸ κλέος Κεφαλληνίας.
Χαίροις τῶν ὁσίων περίβλεπτον καύχημα·
χαίροις οὐρανίου φωτὸς ἐνδιαίτημα.
Χαίροις ἄνωθεν σοφίαν ἐκ παιδὸς ὁ ποθήσας·
χαίροις πίστεως τὴν τρῖβον ἀπλανῶς ὁ βηματίσας.
Χαίροις ὅτι κατεκόσμησας Μοναζόντων τὸν χορόν·
χαίροις ὅτι κατηγλάϊσας Ἄθωνα τὸν θαυμαστόν.
Χαίροις τῶν Ἀγγέλων βίον ὁ ζηλώσας ἐν σαρκί·
χαίροις Ἀποστόλων ζῆλον ὁ κτησάμενος σπουδῇ.
Χαίροις τοῦ Εὐαγγελίου ἡ περίτρανος φωνή·
χαίροις τῶν Ἑλλήνων κῆρυξ ἐν δουλείαις τοῖς καιροῖς.
Χαίροις Πάτερ Θεόφωτε.

Βάθος Θεοῦ κριμάτων ἀνερμήνευτον Πάτερ ἠρεύνας θεολήπτῳ ψυχῇ σου, καὶ δόξαν Τούτου τὴν ἀπόῤῥητον ἐνοπτριζόμενος, ἐδόξαζες τὰ ξένα καὶ ἐξαίσια μεγαλεῖα. Διὸ καὶ τῶν Ὁσίων πάντων τοῖς χοροῖς ἑνούμενος, ὢ Ἄνθιμε μακάριε, ἐβόας τὴν χαρμόσυνον καὶ ἄληκτον ᾠδὴν Κυρίῳ·
Ἀλληλούϊα.

Γνώμη σου ἑκουσία τῷ Κυρίῳ προσῆλθες, μονήρη ἀσπασάμενος βίον καὶ σχῆμα τιμιώτατον τὸ τῶν Ἀγγέλων ἐνδυσάμενος, ἀκρώρειαν εἰς θείαν ἀρετῶν ἀνῆλθες, Θεὸν ὑψίστοις μέλεσιν ὑμνῶν σὺν τοῖς

Ἀγγέλοις. Ὅθεν σὲ πάντες, ἱεραῖς ὑψηγορῖαις χρώμενοι, τὴν μνήμην σου τὴν πάντιμον ὑμνολογοῦμεν Ἄνθιμε, βοῶντες ἐκτενῶς σοι ταῦτα·
Χαίροις ὁ λύχνος τῆς ἀληθείας·
χαίροις τὸ κάλλος τῆς εὐσεβείας.
Χαίροις ἀπαθείας θεοφύτευτος λειμών·
χαίροις ἐγκρατείας στάθμη καὶ εὐθύτατος κανών.
Χαίροις πίστεως ἁγίας ἡ καλλίστη θημωνία·
χαίροις τῆς ἀγάπης σκεῦος καὶ ἀρίστη δαδουχία.
Χαίροις ὅτι ἐβδελύξω φθειρομένας ἡδονάς·
χαίροις ὅτι κλῆρον ἔσχες τὰς ἀφθάρτους δωρεάς.
Χαίροις τοῦ Ἀγαθοδότου ὁ πιστότατος φίλος·
χαῖροις συμπαθοῦς Δεσπότου γνησιώτατος δοῦλος.
Χαίροις Κεφαλλήνων νήσου ὁ κατάκαρπος βλαστός·
χαίροις τῆς Ἐδὲμ ὁ πλοῦτος καὶ εὐώδης θησαυρός.
Χαίροις Πάτερ Θεόφωτε.

Δίψει Πάτερ ὑποβάλλων σεαυτὸν διὰ Χριστὸν καὶ πολλαῖς σκληραγωγίαις, ὁλονύκτοις τε εὐχαῖς, τὸν φθοροποιὸν χιτῶνα ἀπεβάλου τῶν παθῶν, καὶ τὸ ἔνδυμα ἐκτήσω ἀπαθείας τὸ λαμπρόν. Διὸ Ἄνθιμε ὑμνοῦντες ἀριστείας σου πολλάς, τὸν Δεσπότην εὐλογοῦμεν τὸν οἰκήσαντα ἐν σοι καὶ συμφώνως μελωδοῦμεν τὴν χαρμόσυνον ᾠδήν·
Ἀλληλούϊα.

Ἐν δουλείας τῷ χειμῶνι ἔαρ ὤφθης τῷ λαῷ, θεῖε Ἄνθιμε κηρύττων τὰς ἁγίας ἐντολὰς καὶ στηρίζων

ὑποδούλους ἐν τῇ πίστει τοῦ Χριστοῦ. Τοῖς σοῖς λόγοις στηριχθέντες καὶ ἡμεῖς οἱ ἐνδεεῖς, χειμαζόμενοι κακίας καὶ παθῶν ἐπαγωγαῖς, πίστεως ἐκ θείας λόγους πλέκομεν χρεωστικῶς καὶ βοῶμεν μετὰ πόθου ταῦτα σοι μιᾷ φωνῇ·
Χαίροις δοχεῖον τοῦ Παρακλήτου·
χαίροις ἠχεῖον Πατρὸς Ὑψίστου.
Χαίροις πίστεως ἁγίας ποδηγέτης ἀπλανής·
χαίροις τῶν ἀπίστων πάντων καθαιρέτης ὁ ὀξύς.
Χαίροις Μοναστῶν ἀλείπτης καὶ φιλόστοργος πατῆρ
χαίροις τῶν ἰσαποστόλων ἡ τιμία καλλονή.
Χαίροις τοῦ Εὐαγγελίου ὁ διδάξας τὰς ὁδούς·
χαίροις ὁ καλῶς περάνας ἀρετῶν τὰς στενωπούς.
Χαίροις ὅτι φιλοτίμως εἴργασαι τὰς ἐντολάς·
χαίροις ὅτι ἐκομίσω αἰωνίους ἀμοιβάς.
Χαίροις τῆς Κεφαλληνίας ὁ πολύφωτος ἀστήρ·
χαίροις ὁ διασκορπίσας Φῶς τὸ ἱλαρὸν πολλοῖς.
Χαίροις Πάτερ Θεόφωτε.

Ζηλωτὴς τῶν Ἀποστόλων θεῖε Ἄνθιμε δειχθείς, ἦλθες εἰς Αἰγαίου νήσους, ὑποδούλους νουθετῶν καὶ διδάσκων τὰς τοῦ νόμου θεοφθόγγους ἐντολάς. Ὅθεν ῥήσεσί σου θείαις νῦν στοιχοῦντες καὶ ἡμεῖς καὶ ἑπόμενοι Κυρίου παραγγέλμασι σεπτοῖς, τὴν Αὐτοῦ οἰκονομίαν μεγαλύνομεν ἀεί, ἐκβοῶντες μετὰ πόθου τὴν εὐφρόσυνον ᾠδήν·
Ἀλληλούϊα.

Ἤγειρας Θεοῦ εἰς αἶνον πλείστας Ἄνθιμε Μονὰς καὶ πολλοὺς ἀπὸ τοῦ κόσμου ἐφειλκύσω πρὸς τὸ φῶς, ἀναδείξας τὰς ἐρήμους φροντιστήρια ψυχῶν. Ὅθεν Μοναζόντων στίφη καὶ τῶν εὐσεβῶν πληθύς, συγκροτήσαντες χορείαν πλέκομεν κοινὴν ᾠδὴν, καὶ συμφώνως ἐκβοῶμεν ταῦτα σοι μιᾷ φωνῇ·
Χαίροις ὁ στῦλος τῆς ἐγκρατείας·
χαίροις ἡ στάθμη τῆς ἀπαθείας.
Χαίροις τῶν Ἁγίων Τόπων πάνσεπτος προσκυνητής·
χαίροις καθαρὸς λατρείας ἄριστος ὑφηγητής.
Χαίροις τοῦ Εὐαγγελίου ὁ ἐργάτης ὁ πιστός·
χαίροις χάριτος τῆς θείας οἰκονόμος ὁ σεπτός.
Χαίροις τῆς ἐρήμου φίλος καὶ θεόφρων πολιστής·
χαίροις τῶν Ὁσίων πάντων ἀκριβῆς ἐκμιμητής.
Χαίροις ὁ οἰκοδομήσας θείας καὶ σεπτὸς Μονάς·
χαίροις ὁ περιποιήσας τὰς Κυρίου διδαχάς.
Χαίροις βίου τῶν Ἀγγέλων φωτοφόρε ἐραστά·
χαίροις τοῦ Πατρὸς τῶν φώτων ὢ ἀκραῖμον λατρευτά.
Χαίροις Πάτερ Θεόφωτε.

Θεωρίας οὐρανίου ὤφθης Πάτερ κοινωνὸς καὶ ἑώρας κεκλεισμένοις σώματός σου ὀφθαλμοῖς τὴν Κυρίαν τῶν Ἀγγέλων Θεοτόκον Μαριάμ, κάλλη ὑποδείξασαν σὲ τὰ ἀνέκφραστα παντί, τὰ ἡτοιμασμένα ὅσοις ἀγαπῶσι τὸν Θεόν. Ὅθεν καὶ προτρέπουσα σὲ Ἄνθιμε θαυματουργέ, ὑπομένειν ἀγογγύστως στέρησιν τὴν τοῦ φωτὸς τοῦ προσκαίρου, σοι ἐδίδου Ἀναστάσεως τὸ φῶς, τοῦ βοᾶν ἀνεμποδίστως φωτοπάροχον ᾠδήν·

Ἀλληλούϊα.

Ἰσχυρᾷ φωνῇ σου Πάτερ διελάλεις τὸν Χριστόν, ἐν ταῖς νήσοις τοῦ Αἰγαίου καὶ ἀφύπνισας πολλοὺς ἐκ τοῦ ὕπνου τῆς ἀγνοίας πρὸς ἐγρήγορσιν Χριστοῦ. Ὅθεν αἴροντες τὰς χεῖρας ἐπευλόγουν τὸν Θεὸν τὸν αὐτοῖς σὲ δεδωκότα Ἄνθιμε μεγαλουργέ, θεῖον δῶρον τῆς ἀφάτου ἀγαθότητος Αὐτοῦ. Τοῦτον ὅθεν ἀνυμνοῦντες καὶ ἡμεῖς θεοπρεπῶς, λέγομεν σοι ἀπροσκόπτως ταῦτα χείλεσι ψυχῆς·
Χαίροις τῆς Σίφνου φωταγωγία·
χαίροις τῆς Χίου λαμπαδουχία.
Χαίροις τοῦ Θεοῦ τῶν ὅλων ἡ περίτρανος βολίς·
χαίροις τοῦ ἀδύτου φάους ἡ ἀπόρθητος ἀκτίς.
Χαίροις μοναστῶν ἡγέτης ὁ ἰθύνων ἀπλανῶς·
χαίροις εὐσεβῶν ὁ κῆρυξ ὁ λαλήσας θαυμαστῶς.
Χαίροις ὁ τὴν Θεοτόκον κατιδὼν ἐν ὀπτασίᾳ·
χαίροις ὁ λαβῶν ἐκ ταύτης εὔελπιν παρηγορίαν.
Χαίροις ὁ καλλιεργήσας τοῦ Κυρίου τὸν ἀγρόν·
χαίροις Τούτῳ προσκομίσας τὸν πολύδρεπτον καρπόν.
Χαίροις Πνεύματος Ἁγίου ἡ ζεφύρειος πνοή·
χαίροις ὁ δροσίσας θείως ὑποδούλων τὴν ψυχήν.
Χαίροις Πάτερ Θεόφωτε.

Κρήτη ἡ μεγάλη νῆσος ἐπαγάλλεται ἐν σοι Ἄνθιμε σημειοφόρε, ὑπηρέτα τοῦ Θεοῦ καὶ γὰρ ἔφθασας ἐν ταύτῃ είς πολέμου τὸν καιρὸν καὶ κηρύξας θεῖον

Λόγον φλογοφόρῳ σου φωνῇ, ᾔσχυνας τοῦ παλαμναίου τὴν μνησίκακον βουλήν. Καὶ ἡμεῖς σῶν θαυμασίων εὐφημοῦντες τὴν πληθύν, ψάλλομεν σοι ὁμοφρόνως τὴν πανίερον ᾠδήν·
Ἀλληλούϊα.

Λέπεδα ἐν σοι καυχῶνται Ἄνθιμε μεγαλουργέ, καὶ Κεφαλληνία πᾶσα συγχορεύει ἱερῶς, τοὺς καμάτους προβαλοῦσα καὶ ἀγῶνάς σου σεπτούς. Ἐν αὐτοῖς γὰρ ἐδομήσω τὴν πανίερον Μονὴν πολυάθλου καὶ Παρθένου Μάρτυρος Παρασκευῆς, τὴν σεισμῷ καταστραφεῖσαν, ἥν ἐφαίδρυνας λαμπρῶς τῇ οἰκήσει τῶν τιμίων καὶ σεμνῶν Μοναζουσῶν. Σὺν αὐταῖς μεγαλοφώνως συγχορεύοντες ἡμεῖς πλέκοντες ᾠδὰς ᾀσμάτων σοι φωνοῦμεν εὐλαβῶς·
Χαίροις ἀγλάϊσμα τῶν Ὁσίων·
χαίροις ὡράϊσμα τῶν δικαίων.
Χαίροις τοῦ χοροῦ Ἀγγέλων ἡ ἡδίστη συναυλία·
χαίροις τῶν Θεοῦ ἐρώντων ἡ καλλίστη συστοιχία.
Χαίροις τῆς Μονῆς Λεπέδων ὁ δομήτωρ ὁ κλεινός·
χαίροις τῆς ἐρήμου πάσης ὁ κοσμήτωρ ὁ σοφός.
Χαίροις μέλισσα καθάπερ φιλοπόνως ἐργασθείς·
χαίροις μέλιτος ἀῤῥητου θεσπεσίως ὁ γευθείς.
Χαίροις σάλπιγξ ἀφυπνοῦσα ὑποδούλων τὰς καρδίας·
χαίροις φόρμιγξ ἡ τρανοῦσα τὰς Θεοῦ μεγαλουργίας.
Χαίροις τῆς Ἀστυπαλαίας ὁ εὐώδης θησαυρός·
χαίροις τῆς Κεφαλληνίας ὁ προστάτης ὁ θερμός.
Χαίροις Πάτερ Θεόφωτε.

Μάστιγα τῆς ἀνομβρίας ἔλυσας σαῖς προσευχαῖς καὶ βροχὴν πλουσίαν Μάκαρ δέδωκας αὐχμώσῃ γῇ, Ἄνθιμε καιρῷ τοῦ θέρους, ὥσπερ πάλαι Ἠλιού. Σὺν ἐκείνῳ μὴ ἐλλείπῃς τοῦ πρεσβεύειν τῷ Θεῷ, ταῖς ψυχαῖς ἡμῶν διδόναι χάριτος τὸν ὑετόν, ἵνα μὴ κατατακῶμεν τῶν πταισμάτων τῷ αὐχμῷ, ἀλλὰ ψάλλωμεν προθύμως δροσοβόλῳ ἐν χαρᾷ, ὕμνον τὸν χαρμόσυνόν σοι καὶ εὐφρόσυνον ᾠδην·
Ἀλληλούϊα.

Νέκρωσιν ὁ ὄφις πάλαι τῇ κακίστῃ συμβουλῇ, ἔφερε παντὶ τῷ γένει γεύσεως παρακοῇ. Σὺ δὲ Ἄνθιμε θεόφρον νουθεσίᾳ σου καλῇ καὶ πολλῇ σοῦ παῤῥησίᾳ πρὸς τὸν Ὕψιστον Θεόν, ἐν Ἀστυπαλαίᾳ πάλαι ὄφιν μέγαν καὶ δεινὸν κατενέπρησας εἰς τέλος ὡσεὶ χόρτον ἐν φλογί. Καὶ ἡμῶν τὰ πάθη φλέξον ἐγκρατείας τῷ πυρί, συντηρῶν ἀδιατρώτους ἐκ βελῶν τοῦ πονηροῦ, ἵνα σὲ ἐπευλογοῦντες ὡς οἱ Παῖδες τὸν Θεόν, ψάλλομεν προθύμως τάδε ἐν μιᾷ κοινῇ φωνῇ·
Χαίροις ὁ μέγας ἐν ἐξαισίοις·
χαίροις ὁ πάνυ ἐν θαυμασίοις.
Χαίροις παῤῥησίαν πλείστην πρὸς Θεὸν ὁ ἐσχηκώς·
χαίροις χάριν τὴν μεγίστην ἰαμάτων ὁ λαβῶν.
Χαίροις κόρην θεραπεύσας τὴν ἀόμματον τὸ πρίν·
χαίροις θείως εὐλόγησας τῆς ἀτέκνου τὴν νηδύν.
Χαίροις ὁ τὴν τρικυμίαν ἐν πελάγει καταπαύσας·
χαίροις σταθηρὰν εἰρήνην ταῖς καρδίαις ὁ βραβεύσας.

Χαίροις ὁ τὴν γῆν δονήσας διδαχαῖς σου ἱεραῖς·
χαίροις πλήθη στερεώσας ἐν Θεοῦ ταῖς ἐντολαῖς.
Χαίροις τοῦ Θεοῦ πιστώσας τὴν ὑπέρτατον ἰσχύν·
χαίροις τοῦ ἐχθροῦ συντρίψας τὴν μεγάλαυχον ὀφρύν.
Χαίροις Πάτερ Θεόφωτε.

Ξενοτρόπως τῆς Πανάγνου Θεοτόκου ἡ μορφή, ἐτυπώθη ἐν τῷ ξύλῳ σῇ συντόνῳ προσευχῇ, ἐν Ἁγιωνύμῳ Ὄρει Ἄνθιμε θαυματουργέ. Ταύτην δὲ ἐξωραΐσας ὁ Μονάζων ὁ σεπτός, ὁ ἐξεικονίσας πλεῖστος πάλαι θαυμαστός, σεβασμίας τε εἰκόνας, σοι ἐπέδωκε σπουδή. Ἐν Ἀστυπαλαιᾳ νήσῳ ἔφερες δὲ θαυμαστῶς, ἐν Μονῇ Πορταϊτίσσης, ἥν ἀνήγειρας σοφέ, ἀναμέλπων μετὰ δέους καὶ χαρᾶς πνευματικῆς·
Ἀλληλούϊα.

Ὄμματα σαρκός σου ἔσχες πηρωθέντα ἐκ παιδός, Ἄνθιμε σημειοφόρε, πάμφωτε μυσταγωγέ, καὶ ἑώρας ψυχικοῖς σου ὀφθαλμοῖς διαπαντός, Φωτοδότην καὶ Σωτῆρα, ὃν ἐκήρυξας λαμπρῶς. Τούτῳ πρέσβευε ἀπαύστως παῤῥησίαν ὡς πλουτῶν, ἐπιβλέψαι εἰς ψυχήν μου τὴν τυφλώτουσαν κακοῖς καὶ φωτίσαι μου τὰς κόρας τῆς καρδίας ἐναργῶς, ἵνα κράζω σεσῳσμένος ταῦτα σοι διηνεκῶς·
Χαίροις λαμπρὸν τοῦ Ἡλίου σέλας·
χαίροις υἱὲ φωτὸς καὶ ἡμέρας.
Χαίροις τῆς ἀπαθείας γλυκασμὸν ὁ ἐκλάμπων·

χαίροις τὸν τῆς δουλείας σκοτασμὸν καταπαύων.
Χαίροις ἄσαρκος καθάπερ ὁ βιώσας ἐν τῇ γῇ·
χαίροις Ἄγγελος ὡς ἄλλος ἐν σαρκὶ πολιτευθείς.
Χαίροις τῆς χαμαικοιτίας ἀγαπήσας τὴν στρωμνήν·
χαίροις τῆς σκληραγωγίας προελόμενος τρυφήν.
Χαίροις τῆς Πορταϊτίσσης τὴν εἰκόνα ὁ φιλήσας·
χαίροις ἐν Ἀστυπαλαίᾳ ταύτης τὴν Μονὴν δομήσας.
Χαίροις ὁ τῶν ἐξαισίων ἱερώτατος ἀνήρ·
χαίροις τῆς Κεφαλληνίας ὁ ἀείφωτος λαμπτήρ.
Χαίροις Πάτερ Θεόφωτε.

Πύργος τῆς ἰσχύος πέλεις, καταράσσων τοῦ ἐχθροῦ τὰς δεινὰς μηχανουργίας καὶ τὰ ἐνέδρα αὐτοῦ. Ὅθεν θησαυρὸν ἐν πίθῳ εὑρηκότες οἱ πιστοί, σὺ μετέτρεψας εὐχῇ σου Ἄνθιμε εἰς μέλαν χοῦν. Τὴν πολλὴν σοῦ παῤῥησίαν ἥν ἐκτήσω πρὸς Θεόν, οἱ σοι δοῦλοι ἐκπλαγέντες ψάλλομεν Αὐτῷ πιστῶς·
Ἀλληλούϊα.

Ῥάβδον ἰσχυρὰν κατέχων τοῦ Θεοῦ τὰς ἐντολάς, βακτηρίαν τε εὐθεῖαν φίλτρον πρὸς Αὐτὸν ἁγνόν, καὶ ὡς σύμμαχον τὸν φόβον τὸν ἀνόθευτον ἀεί, ἐπορεύθης μακρυτάτην Ἄνθιμε σοφὲ ὁδόν, ἐκδιδάσκων τοῖς ἐν σκότει φῶς τὸ μέγα τοῦ Χριστοῦ. Καὶ κατέχων τοῖς χερσί σου τὸ ῥαβδίον ἀρωγόν, κομβοσχοίνιόν τε θεῖον καὶ πανίερον ὁμοῦ, ἐν ἀγῶσι τοῖς τιμίοις γέρα ἔσχες εὐκλεῆ. Διὸ πάντες μετὰ πόθου σὲ γεραίροντες ἀεί, ἐκβοῶμεν ὁμοφώνως ταῦτα χείλεσι

ψυχῆς·
Χαίροις ἡ αὔρα Θεογνωσίας·
χαίροις ἡ νάβλα τῆς εὐσεβείας.
Χαίροις τῶν ἐν ἀπογνώσει παραστάτης ἱλαρός·
χαίροις τῶν ἐν ἀπορίᾳ ἀντιλήπτωρ θαυμαστός.
Χαίροις ὅτι ἠγωνήσω τὸν ἀγῶνα τὸν καλόν·
χαίροις ὅτι ἐδομήσω φροντιστήρια ψυχῶν.
Χαίροις θλίψεις ὁ βαστάσας ἐν καμίνῳ τῇ τοῦ βίου·
χαίροις ὁ φαιδρῶς ἐκλάμπων ὑπὲρ τοῦ φθαρτοῦ χρυσίου.
Χαίροις ὁ Θεὸν εὔφρανας ταῖς παννύχοις σου εὐχαῖς·
χαίροις ὁ ἀεὶ συνόδων ταῖς Ἀγγέλων στρατιαῖς.
Χαίροις σάλπιγξ ἡ φωνοῦσα τοῦ Θεοῦ τὰς διδαχάς.·
χαίροις φόρμιγξ μελωδούσα τὰς ἀῤῥήτους δωρεάς.
Χαίροις πάτερ Θεόφωτε.

Σίκινος ἡ θεία νῆσος ἐγκαυχᾶται καὶ σκιρτᾷ Ἄνθιμε, τῶν οὐρανίων ἄνερ ἐπιθυμιῶν. Ἐν αὐτῇ γὰρ καταπαύσας τοῦ κηρύγματος ὁδόν, ἔπηξας ἐπὶ τὸ Ὄρος, τὴν Μονὴν Χρυσοπηγῆς, τὴν ἐκβλύζουσαν ὡς νᾶμα χάριν ἁγιαστικήν. Ταύτης οὖν μετειληφότες οἱ χοροὶ τῶν εὐσεβῶν, ψάλλουσι Θεῷ τῷ δόντι δωρεῶν σοι πλησμονήν, χαριστήριον λατρείαν καὶ τὴν ἄπαυστον ᾠδην·
Ἀλληλούϊα.

Τόπους εἰς ἁγίους Πάτερ, οὓς ἐβάδισε Θεός, μετὰ πόθου ἐπεσκέψω Ἄνθιμε τοῦ ἱεροῦ, ἵνα τούτους

προσκυνήσῃς ὡς Κυρίου ἐραστής. Ὅθεν εὐλογιαν θεὶαν καὶ ἰσχὺν προσειληφώς, ἐπορεύθης ἀκυμάντως τοῦ κηρύγματος ὁδόν. Ἰσαπόστολος οὖν μέγας καὶ περίδοξος δειχθείς, σὲ τιμῶμεν μετὰ δέους ἐκβοῶντές σοι πιστῶς
Χαίροις λαμπὰς τοῦ Θεοῦ πρὸς τὸν πέλας·
χαίροις λαμπρὸν Ἀποστόλων γέρας.
Χαίροις ὑποδούλοις πνεύσας ὡσεὶ δρόσος Ἀερμῶν·
χαίροις τῆς Σιὼν τῆς ἄνω ὁ πολύδροσος λειμών.
Χαίροις ἄνερ ὁ φιλήσας πνεύματος τὰ ἀγαθά·
χαίροις Πάτερ ὁ ποθήσας ἀκηράτους δωρεάς.
Χαίροις τῷ Θεῷ συνάξας ὡς νοσσία τοὺς πιστοῦς·
χαίροις ὁ ποσὶ πατάξας ὡς στρουθία τοὺς ἐχθρούς.
Χαίροις ἔλαφος καθάπερ ὁ τὰς νήσους διαβάς·
χαίροις δίψαν σου κορέσας εἰς Κυρίου τὰς πηγάς.
Χαίροις λόγων θεαρέστων ὁ ἀκάματος σπορεύς·
χαίροις Πνεύματος Ἁγίου ὁ πρωτεύων σκαπανεύς.
Χαίροις Πάτερ Θεόφωτε.

Ὑψηλῇ ἐν διανοίᾳ τῷ Θεῷ προσομιλῶν, τέλος σου τὸ θεῖον Πάτερ ἔγνωκας προοπτικῶς. Ὅθεν εἰς Μονὴν Λεπέδων ἐπιστρέφας, τῷ Θεῷ τὴν ψυχήν σου ἐναπέθου Ἄνθιμε τὴν καθαράν. Ταύτην πάντες εὐλαβείᾳ ἀνυμνοῦντες καὶ χαρᾷ, μέλπωμεν ἀπαύστως ὕμνον τῷ κοινῷ Δημιουργῷ, τῶν ψυχῶν τε Εὐεργέτῃ, μελωδοῦντες ἐκτενῶς·
Ἀλληλούϊα.

Φάραγξ πᾶσα ἐπληρώθη ταῖς σοφαῖς σοῦ διδαχαῖς, καὶ βουνὸς ἐταπεινώθη τοῦ ὑψαύχενος ἐχθροῦ Ἄνθιμε πνευματοφόρε, τῶν κηρύκων ἡ κρηπίς. Τοῖς χερσί σου γὰρ κατέχων ὡσεὶ ὅπλον τὸν Σταυρόν, κομβοσχοινιόν τε θεῖον καὶ ῥαβδίον ταπεινόν, ἐπορεύθης δρόμον μέγαν, μεγαλύνων τὸν Θεόν. Καὶ ἡμεῖς οὖν ἀριστείας μεγαλύνοντες τὰς σάς, λέγομεν σοι ταῦτα πόθῳ, ἐν μεγάλῃ τῇ φωνῇ·

Χαίροις τῆς πίστεως ἱερεῖον·
χαίροις ἀγάπης Θεοῦ ταμεῖον.
Χαίροις ὁ κλεινὸς ἐκφάντωρ μεγαλείων τοῦ Θεοῦ·
χαίροις ὁ ἡδὺς κοσμήτωρ μοναζόντων τοῦ Χοροῦ.
Χαίροις ὁ δρομεὺς Κυρίου τὸ Αἰγαῖον διελθών·
χαίροις ὁ σπορεὺς τοῦ Λόγου στάχυν δρέψας τὸν μεστόν.
Χαίροις τῆς Θεογνωσίας ὁ ἀκένωτος κρατήρ·
χαίροις τῶν δεδουλωμένων ὁ πολύφωτος λαμπτήρ.
Χαίροις τοῦ Κυρίου πύκτα ἀριστεύσας εὐκλεῶς·
χαίροις Μοναστῶν ἀλεῖπτα πρὸς τὸ σκάμμα ὁδηγῶν.
Χαίροις ποταμοὺς ὁ ῥεύσας θεαρέστων διδαχῶν·
χαίροις θείως ὁ ἀρδεύσας αὔλακα τῶν καρδιῶν.
Χαίροις Πάτερ Θεόφωτε.

Χάριν τὴν τιμίαν εὗρες Ἄνθιμε παρὰ Θεῷ, τοῦ ὁρᾶν πολλὰ συμβάντα καὶ προλέγειν τὰ ἐγγύς. Ὅθεν οἱ πιστοὶ ὡς ἄλλον θεωροῦντες σὲ Μωσῆν, ὁδηγοῦντα ὑποδούλους πρὸς ἐπαγγελίας γῆν, ἐν Σιναίῳ τε τῷ ὄρει ὁμιλήσαντα Θεῷ, σοι προσήρχοντο προθύμως,

ἵνα εὕρωσιν Αὐτόν. Διὸ κόρας τῆς καρδίας αὐγασθέντες καὶ νοός, λόγους θείους σοι προσῆγον καὶ ᾠδὴν καινὴν Θεῷ·
Ἀλληλούϊα.

Ψυχοτρόφοις διδαχαῖς σου ἐκ τοῦ σκότους τῶν παθῶν, εἵλκυσας πρὸς σωτηρίαν τὸν ὑπόδουλον λαόν, ὁδηγήσας πρὸς λιμένας Ἄνθιμε τοὺς γαληνούς, καταλάξας τῆς εἰρήνης τῷ Δοτῆρι καὶ Θεῷ. Γαληνόμορφον οὖν χάριν εὑρηκότες καὶ ἡμεῖς, εἰρηναίᾳ ἐν καρδίᾳ, ἐλευθέρᾳ τε φωνῇ, χεῖρας αἴροντες ἐν πίστει, πρὸς τὸν ὕψιστον Θεόν, ἀνυμνοῦμεν τὴν σὴν δόξαν, λέγοντες χαρμονικῶς·
Χαίροις εὐσεβείας τὸ ἄσειστον ἕδρασμα·
χαίροις τῶν πιστῶν τὸ ἀκράδαντον ἔρεισμα.
Χαίροις τοῦ ἀγροῦ Κυρίου φυτοκόμος ἀγαθός·
χαίροις τοῦ καρποῦ τοῦ θείου πλεονάσας τὸν μισθόν.
Χαίροις τῶν θεοκηρύκων ἡ περίβλεπτος κρηπίς·
χαίροις τῶν ἰσαποστόλων πολυσέβαστος σφραγίς.
Χαίροις ὁ θεμελιώσας θείας καὶ σεπτὰς Μονάς·
χαίροις ἔργῳ ὁ καθυποδείξας θεμελίους ἀρετάς.
Χαίροις ὁ τρανῶς διδάξας μεγαλεῖα τοῦ Θεοῦ·
χαίροις ὁ σαυτὸν ποιήσας τέμενος τοῦ Παντουργοῦ.
Χαίροις αὔρα οὐρανία ἀναψύχουσα ἡμᾶς·
χαίροις δρόσος ἡ τιμία υἱετίζουσα ψυχάς.
Χαίροις τοῦ φωτὸς τοῦ θείου ἡ ἀνέσπερος αὐγή·
χαίροις τῶν φωταγωγούντων ἡ ὑπέρλαμπρος στολή.
Χαίροις Πάτερ Θεόφωτε.

Ὢ Θεόσοφε Πάτερ, τῶν Ὁσίων ἀκρότης, ὁμότροπε κλεινῶν Ἀποστόλων, (γ΄ ) ὁ πηρωθείσοις ὀφθαλμοῖς τοῦ σώματος εὐτόλμως τὰ πελάγη διατρέξας, ἵνα τὸν λόγον τοῦ Θεοῦ τοῖς ὑποδούλοις Ἕλλησιν κηρύξῃς καὶ εἰς γαλήνιον λιμένα τούτους ὁδηγῶν, τὸ φῶς αὐτοῖς τὸ ἱλαρὸν παρέξῃς· ὑπάναψον τὸν τῆς ψυχῆς μου ἐσβεσμένον λύχνον δέομαι, τὴν δὲ λαμπάδα μου ἐν ἔργοις εὐποιΐας λάμπρυνον, ἵνα σὺν ταῖς παρθένοις ταῖς φρονίμοις εἰς τὸν νυμφῶνα εἰσελθὼν τὸν ἐπουράνιον, τοῦ Φωτοδότου κάλλους θεωρῶ τὸ ἀκατάληπτον. Καὶ ὕμνοις Τούτου μεγαλύνων τὴν χρηστότητα σὺν Ἀγγέλοις μέλπω τὴν ἀσίγητον ᾠδην· Ἀλληλούϊα.

Καὶ πάλιν τὸ Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.
Κεφαλληνίας τὸν βλαστὸν καὶ μέγα καύχημα…

Πρὸ δὲ τοῦ δι᾽ εὐχῶν τὸ ἑξῆς: Ἦχος γ΄. Τὴν ὡραιότητα.
Τὸν ἀκατάληπτον, Θεὸν ἑώρακας, τυφλοῖς σοῦ ὀμμασιν, Ἄνθιμε Πάμφωτε, καὶ ἐπορεύθης τὴν ὁδόν, τοῦ θείου Εὐαγγελίου. Νήσοις γὰρ ἐκήρυξας, ἐν δουλείας τοῖς ἔτεσι, Κύριον Φιλάνθρωπον καὶ Μονὰς ἀνεδόμησας Διὸ σοι οἱ πιστοὶ ἐκβοῶμεν· Χαίροις τὸ φῶς τῶν ἐν τῷ σκότει.

Δίστιχα ἀκροτελεύτια:
Πρεσβείαις φωτοφόροις σου καρδίαν αὔγασόν μου
τοῦ σκότους μὲ ἐλευθερῶν Ἄνθιμε θεοῤῥῆμον.

Καὶ τελειῶσαι τὴν ὁδὸν καλῶν ἀγώνων δίδου
τῇ ἀνυμνοῦσί σε πιστῶς πένητι Ἰσιδώρα.
Καὶ πάντας τοὺς τιμῶντας σὲ ἐν εὐλαβείᾳ Πάτερ
εὐλογεῖ καὶ συντήρησον ἐκ τοῦ ἐχθροῦ ἀτρώτους.

